13 Ζαβουλων παράλιος κατοικήσει, 13
καὶ αὐτὸς παρ᾽ ὅρμον πλοίων,
καὶ παρατενεῖ ἕως Σιδῶνος.
14 Ισσαχαρ τὸ καλὸν ἐπεθύμησεν 14
ἀναπαυόμενος ἀνὰ μέσον τῶν κλήρων·
15 καὶ ἰδὼν τὴν ἀνάπαυσιν ὅτι καλή, 15
καὶ τὴν γῆν ὅτι πίων,
ὑπέθηκεν τὸν ὦμον αὐτοῦ εἰς τὸ πονεῖν
καὶ ἐγενήθη ἀνὴρ γεωργός.
16 Δαν κρινεῖ τὸν ἑαυτοῦ λαὸν 16
ὡσεὶ καὶ μία φυλὴ ἐν Ισραηλ.
17 καὶ γενηθήτω Δαν ὄφις ἐφ᾽ ὁδοῦ 17
ἐγκαθήμενος ἐπὶ τρίβου,
δάκνων πτέρναν ἵππου,
καὶ πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσω.
18 τὴν σωτηρίαν περιμένω κυρίου. 18
19 Γαδ, πειρατήριον πειρατεύσει αὐτόν, 19
αὐτὸς δὲ πειρατεύσει αὐτῶν κατὰ πόδας.
20 Ασηρ, πίων αὐτοῦ ὁ ἄρτος, 20
καὶ αὐτὸς δώσει τρυφὴν ἄρχουσιν.
21 Νεφθαλι στέλεχος ἀνειμένον, 21
ἐπιδιδοὺς ἐν τῷ γενήματι κάλλος.
22 Υἱὸς ηὐξημένος Ιωσηφ, 22
υἱὸς ηὐξημένος ζηλωτός,
υἱός μου νεώτατος·
πρός με ἀνάστρεψον.
23 εἰς ὃν διαβουλευόμενοι ἐλοιδόρουν, 23
καὶ ἐνεῖχον αὐτῷ κύριοι τοξευμάτων·
24 καὶ συνετρίβη μετὰ κράτους τὰ τόξα αὐτῶν, 24
καὶ ἐξελύθη τὰ νεῦρα βραχιόνων χειρῶν αὐτῶν
διὰ χεῖρα δυνάστου Ιακωβ,
ἐκεῖθεν ὁ κατισχύσας Ισραηλ·
25 παρὰ θεοῦ τοῦ πατρός σου, 25
καὶ ἐβοήθησέν σοι ὁ θεὸς ὁ ἐμὸς
καὶ εὐλόγησέν σε εὐλογίαν οὐρανοῦ ἄνωθεν
καὶ εὐλογίαν γῆς ἐχούσης πάντα·
ἕνεκεν εὐλογίας μαστῶν καὶ μήτρας,

14 ανα μεσον] εμμεσω A || 16 εαυτου λαον] λ. αυτου A || 17 γενηθητω] εγενηθη τω A || 18 περιμενω Ra.] -νων BA || 20 δωσει] pr. δια A | τρυφην B†] τροφην A || 21 νεφθαλειμ A || 22 ηυξημ. 2⁰] + μου B || 24 χειρων] -ρος B | ισραηλ] σε ιακωβ A† || 25 θεου] pr. του A | γης] pr. της A†